Burton & Goodspeed # 140: The Ambition of James and John

| Matthew 20:20-28 | Mark 10:35-45 |
|---|---|
| | |
| **Matthew 20:20** | **Mark 10:35** |
| Τότε προσῆλθεν αὐτῷ | Καὶ προσπορεύονται αὐτῷ |
| ἡ μήτηρ | |
| | Ἰάκωβος καὶ Ἰωάννης |
| τῶν υἱῶν Ζεβεδαίου | οἱ υἱοὶ Ζεβεδαίου |
| μετὰ τῶν υἱῶν αὐτῆς | |
| προσκυνοῦσα | λέγοντες αὐτῷ, |
| καὶ αἰτοῦσά τι ἀπ' αὐτοῦ. | Διδάσκαλε, θέλομεν ἵνα ὃ ἐὰν |
| | αἰτήσωμέν σε ποιήσῃς ἡμῖν. |
| **21** ὁ δὲ εἶπεν αὐτῇ, | **36** ὁ δὲ εἶπεν αὐτοῖς, |
| Τί θέλεις; | Τί θέλετέ [με] ποιήσω ὑμῖν; |
| λέγει αὐτῷ, | **37** οἱ δὲ εἶπαν αὐτῷ, |
| Εἰπὲ ἵνα | Δὸς ἡμῖν ἵνα |
| καθίσωσιν οὗτοι οἱ δύο υἱοί μου | |
| εἷς ἐκ δεξιῶν | εἷς σου ἐκ δεξιῶν |
| σου καὶ εἷς ἐξ εὐωνύμων | καὶ εἷς ἐξ ἀριστερῶν |
| | καθίσωμεν |
| σου ἐν τῇ βασιλείᾳ σου. | ἐν τῇ δόξῃ σου. |

| | |
|---|---|
| **22** ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς | **38** ὁ δὲ Ἰησοῦς |
| εἶπεν, | εἶπεν αὐτοῖς, |
| Οὐκ οἴδατε τί αἰτεῖσθε. | Οὐκ οἴδατε τί αἰτεῖσθε. |
| δύνασθε πιεῖν τὸ ποτήριον | δύνασθε πιεῖν τὸ ποτήριον |
| ὃ ἐγὼ μέλλω πίνειν; | ὃ ἐγὼ πίνω |
| | |
| | ἢ τὸ βάπτισμα |
| | ὃ ἐγὼ βαπτίζομαι βαπτισθῆναι; |
| λέγουσιν αὐτῷ, | **39** οἱ δὲ εἶπαν αὐτῷ, |
| Δυνάμεθα. | Δυνάμεθα. |
| | |
| **23** λέγει αὐτοῖς, | ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, |
| Τὸ μὲν ποτήριόν μου | Τὸ ποτήριον ὃ ἐγὼ πίνω |
| πίεσθε, | πίεσθε |
| | |
| | καὶ τὸ βάπτισμα ὃ ἐγὼ |
| | βαπτίζομαι βαπτισθήσεσθε, |
| τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου | **40** τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου |
| καὶ ἐξ εὐωνύμων | ἢ ἐξ εὐωνύμων |
| οὐκ ἔστιν ἐμὸν [τοῦτο] δοῦναι, | οὐκ ἔστιν ἐμὸν δοῦναι, |
| ἀλλ’ οἷς ἡτοίμασται | ἀλλ’ οἷς ἡτοίμασται. |
| ὑπὸ τοῦ πατρός μου. | |
| | |
| **24** Καὶ ἀκούσαντες οἱ δέκα | **41** Καὶ ἀκούσαντες οἱ δέκα |

| | |
|---|---|
| ἠγανάκτησαν | ἤρξαντο ἀγανακτεῖν |
| περὶ τῶν δύο ἀδελφῶν. | περὶ Ἰακώβου καὶ Ἰωάννου. |
| | |
| **25** ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτοὺς | **42** καὶ προσκαλεσάμενος αὐτοὺς ὁ Ἰησοῦς |
| εἶπεν, Οἴδατε ὅτι | λέγει αὐτοῖς, Οἴδατε ὅτι |
| οἱ ἄρχοντες τῶν ἐθνῶν | οἱ δοκοῦντες ἄρχειν τῶν ἐθνῶν |
| κατακυριεύουσιν αὐτῶν | κατακυριεύουσιν αὐτῶν |
| καὶ οἱ μεγάλοι | καὶ οἱ μεγάλοι αὐτῶν |
| κατεξουσιάζουσιν αὐτῶν. | κατεξουσιάζουσιν αὐτῶν. |
| | |
| **26** οὐχ οὕτως ἔσται ἐν ὑμῖν, | **43** οὐχ οὕτως δέ ἐστιν ἐν ὑμῖν, |
| ἀλλ᾽ ὃς ἐὰν θέλη | ἀλλ᾽ ὃς ἂν θέλη |
| ἐν ὑμῖν μέγας γενέσθαι | μέγας γενέσθαι ἐν ὑμῖν |
| ἔσται ὑμῶν διάκονος, | ἔσται ὑμῶν διάκονος, |
| | |
| **27** καὶ ὃς ἂν θέλη | **44** καὶ ὃς ἂν θέλη |
| ἐν ὑμῖν εἶναι πρῶτος | ἐν ὑμῖν εἶναι πρῶτος |
| ἔσται ὑμῶν δοῦλος· | ἔσται πάντων δοῦλος· |
| | |
| **28** ὥσπερ ὁ υἱὸς τοῦ ἀνθρώπου | **45** καὶ γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου |
| οὐκ ἦλθεν διακονηθῆναι | οὐκ ἦλθεν διακονηθῆναι |
| ἀλλὰ διακονῆσαι | ἀλλὰ διακονῆσαι |
| καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ | καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ |
| λύτρον ἀντὶ πολλῶν. | λύτρον ἀντὶ πολλῶν. |

Matthew: 180 -12 = 168 Mark: 204 – 14 = 190 Identical: 226/358 = 63.13%